# ΕΚ ΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ,

## ΕΠΙΤΟΜΗ ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ.

Τὸ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας, τουτέστι πρώτην, τρίτην, πέμπτην, ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον. κατὰ δὲ τὰς ἀρτίους, τουτέστι δευτέραν, τετάρτην, ἕκτην ἴαμβον, καὶ τρίβραχυν καὶ ἀνάπαιστον. τοῦτον δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς. παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. ὅτε μὲν οὖν ἀκατάληκτόν ἐστιν, ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον. ἢ πυρρίχιον διὰ τὴν ἀδιάφορον. ὅτε δὲ καταληκτικὸν, τὸν ἴαμβον παραλήγοντα. ἢ σπανίως τρίβραχυν. ὥστε γίνεσθαι τὴν κατακλεῖδα ἤτοι ἀμφίβραχυν, ἢ βακχεῖον. Τὸ τροχαϊκὸν, κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν, ἴαμβον, καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους, τούτοις τε καὶ σπονδεῖον, καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτε ἐστὶ, τὸν παραλήγοντα μὲν τροχαῖον δέχεται. ἔστι δ' ὅτε καὶ τρίβραχυν. ἐὰν δὲ ᾖ βραχυκατάληκτον, οὐ βούλεται τὸν παραλήγοντα τετράχρονον ἔχειν. Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν, πλὴν τῆς τελευταίας. ἐπὶ ταύτης δὲ εἰ μὲν καταληκτικὸν εἴη, δάκτυλον ἕξει, ἢ διὰ τὴν ἀδιάφορον κρητικόν. εἰ δὲ καταληκτικὸν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα, ἤτοι συλλαβῇ, ἢ δύο συλλαβαῖς. καὶ τὸ μὲν, καλεῖται καταληκτικὸν εἰς συλλαβήν. τὸ δὲ, καταληκτικὸν εἰς δισύλλαβον. τὰ δὲ Αἰολικὰ καλούμενα, τὸν μὲν πρῶτον ἔχει πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ἤτοι σπονδεῖον ἢ ἴαμβον. ἢ τροχαῖον. ἢ πυρρίχιον. τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας. ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικὰ, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις, δακτύλους ἔχει. τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. ἰστέον ὅτι τὰ μὲν ἄνω εἰρημένα, κατὰ συζυγίαν μετρεῖται, τοῦτο δὲ μόνον, κατὰ μονοποδίαν. Τὸ ἀναπαιστικὸν, κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, καὶ ἀνάπαιστον σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς, ἴαμβον καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ αἱ ὑποθέσεις ἕξ, κατὰ συζυγίαν διαιρούμεναι. ὑπερκατάληκτον εἰς δισύλλαβον. ὑπερκαταληκτικὸν εἰς συλλαβήν, ἀκατάληκτον. καταληκτικὸν εἰς δισύλλαβον. κατάληκτον εἰς συλλαβὴν, βραχυκατάληκτον. ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικὸν, οὕτω κἀν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον. οὗ ἐστιν ἐπισημότατον, τὸ μετὰ τέσσαρας πόδας, αὐτὸ ἔχον τὸν βακχεῖον. ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

Τὸ χοριαμβικὸν, συντίθεται μὲν καὶ καθαρὸν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς. ὡς ἐπίπαν δὲ, ὅτε καταληκτικόν ἐστιν, εἰς τὴν ἰαμβικὴν κατακλεῖδα περαιοῦται. τουτέστιν εἰς ἀμφίβραχυν, ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον. περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν. τὸν δάκτυλον ἢ κρητικόν. ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι ἀπρεπέστερά εἰσιν.

Τὸ ἀντισπαστικὸν, τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα. τὰς δ' ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς. τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς, οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει, τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὴν τῆς ἰαμβικῆς ἑπομένην. ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.

Τὸ ἀπὸ μείζονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον. ὅτε μέντοι ἀκατάληκτόν ἐστι καθόλου, σπανίως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν.

Τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ ἐπίμικτον, πρὸς τὰς τροχαϊκὰς διποδίας, οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον. τουτέστι τρίτην παιωνικήν. καὶ τὴν τροχαϊκὴν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκήν. τὸν καλούμενον δεύτερον ἐπίτριτον. ἔσθ' ὅτε δὲ, ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον. τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν, ἐν τοῖς ἀπ' ἐλάττονος ἰωνικοῖς. ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων. Τὸ δὲ παιωνικὸν, εἴδη μὲν ἔχει τρία. τό τε κρητικὸν, τὸ βακχειακὸν, καὶ τὸ παλιμβακχειακόν.